UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

VIII

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

Ἡ δὲ λογοποιία ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ 1
πράξεων, ὧν ⟨πιστεύεσθαι⟩ βούλεται ὁ λογοποιῶν, ὁ δὲ
λογοποιὸς τοιοῦτός τις, οἷος ἀπαντήσας τῷ φίλῳ εὐθὺς 2
καταβαλὼν τὸ ἦθος καὶ μειδιάσας ἐρωτῆσαι· ‘πόθεν σύ’;
καὶ ‘λέγεις τί καὶ πῶς’; ‘ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν’;
καὶ ὡς ἐπιβαλὼν ἐρωτᾶν· ‘μὴ λέγεταί τι καινότερον; καὶ
μὴν ἀγαθά γέ ἐστι τὰ λεγόμενα.’ καὶ οὐκ ἐάσας ἀπο- 3
κρίνασθαι εἰπεῖν· ‘τί λέγεις; οὐθὲν ἀκήκοας; δοκῶ μοί σε
εὐωχήσειν καινῶν λόγων.’ καὶ ἔστιν αὐτῷ ἢ στρατιώτης 4
ἢ παῖς Ἀστείου τοῦ αὐλητοῦ ἢ Λύκων ὁ ἐργολάβος παρα-
γεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φησιν ἀκηκοέναι. αἱ μὲν 5
οὖν ἀναφοραὶ τῶν λόγων τοιαῦταί εἰσιν αὐτοῦ, ὧν οὐθεὶς
ἂν ἔχοι ἐπιλαβέσθαι. διηγεῖται δὲ τούτους φάσκων λέγειν, 6
ὡς Πολυπέρχων καὶ ὁ βασιλεὺς μάχῃ νενίκηκεν, καὶ
Κάσανδρος ἐζώγρηται· καὶ ἂν εἴπῃ τις αὐτῷ· ‘σὺ δὲ ταῦτα 7
πιστεύεις;’ φήσει· τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει,
καὶ τὸν λόγον ἐπεντείνειν, και πάντας συμφωνεῖν· ταὐτὰ
γὰρ λέγειν περὶ τῆς μάχης· καὶ πολὺν τὸν ζωμὸν γεγονέναι.

---

M: Π (vacuus titulus, volebat ερὶ λογοποιίας) Ἡ δὲ λογοποιία σύνθεσις ἐστι ψευδῶν λόγων καὶ πράξεων. ἀπό τινων ἀφορμὴν λαμβάνουσα καὶ συμπλάττουσα τέρατα οἷον πολυπέρχων νενίκηκε. κάσανδρος ἐζώγρηται. καὶ προστίθησιν, εἴ τις ἐρωτώη. σὺ δὲ (vel δὴ) ταῦτα πιστεῦ (πιστεύεις

---

VIII. 3 ⟨πιστεύεσθαι⟩ supplevi 4 τῷ A B: τῳ Eberhard 5 καταβαλὼν] mire (sc. τὰς ὀφρῦς?): μεταβαλὼν Casaubon 6 πῶς del. recc.: πῶς ⟨ἔχεις’ καὶ⟩ Usener 7 ὡς del. recc.: ὡς ⟨τάχος⟩ conieci 9 οὐθὲν sic A B 10 εὐωχῆσαι A 11 παραγεγονὸς B 12 αἱ μὲν οὖν] hinc excerptorem odoreris; etiam indicativi a norma abhorrent 13 οὐθεὶς sic A B 14 ἐπιλαθέσθαι A B: corr. Casaubon δὲ B: om. A 15 πολυπέρχων sic B (cf. M): πολυσπέρχων A μάχῃ B: μάχην A 17 φησί (*says yes*) coni. Hanow apte ut in excerptoris oratione τὸ πρᾶγμα κτλ.] haec plane depravata excerptoris culpa 18 ἐπεντείνειν in textu B: ἐπεντείνει A et in marg. antiquae manus varia lectio B πάντας Casaubon: παν̄ ambigue A: πάντα B ταὐτὰ Casaubon: ταῦτα sic A B

8 εἶναι δ' ἑαυτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς
πράγμασιν· ὁρᾶν γὰρ αὐτῶν πάντων μεταβεβληκότα· λέγει
δ', ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα ἐν
οἰκίᾳ, ἤδη πέμπτην ἡμέραν ἥκοντα ἐκ Μακεδονίας, ὃς
9 πάντα ταῦτα οἶδε. καὶ πάντα διεξιὼν πως οἴεσθαι πιθανῶς
σχετλιάζειν λέγων· 'δυστυχὴς Κάσανδρος· ὢ ταλαίπωρος·
10 ἐνθυμῇ τὸ τῆς τύχης; ἀλλ' οὖν ἰσχυρὸς γενόμενος.' καί
'δεῖ δ' αὐτόν σε μόνον εἰδέναι'· πᾶσι δὲ τοῖς ἐν τῇ πόλει
προσδεδράμηκε λέγων.
11 [Τῶν τοιούτων ἀνθρώπων τεθαύμακα, τί ποτε βούλονται
λογοποιοῦντες· οὐ γὰρ μόνον ψεύδονται, ἀλλὰ καὶ ἀλυσι-
12 τελῶς ἀπαλλάττουσι· πολλάκις γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς
βαλανείοις περιστάσεις ποιούμενοι τὰ ἱμάτια ἀποβεβλήκασιν,
οἱ δ' ⟨ἐν⟩ τῇ στοᾷ πεζομαχίᾳ καὶ ναυμαχίᾳ νικῶντες ἐρήμους
13 δίκας ὠφλήκασιν· εἰσὶ δ' οἳ καὶ πόλεις τῷ λόγῳ κατὰ
14 κράτος αἱροῦντες παρεδειπνήθησαν. πάνυ δὴ ταλαίπωρον
αὐτῶν ἐστι τὸ ἐπιτήδευμα· ποίᾳ γὰρ οὐ στοᾷ, ποίῳ δὲ
ἐργαστηρίῳ, ποίῳ δὲ μέρει τῆς ἀγορᾶς οὐκ ἐνημερεύουσιν
15 ἀπαυδᾶν ποιοῦντες τοὺς ἀκούοντας· οὕτως καὶ καταπονοῦσι
ταῖς ψευδολογίαις.

---

an πιστεύειν ?). σημεῖον τὰ πρόσωπα πάντων μεταβαλόντα. καὶ ὡς ἠκηκόει τινὰ κρυπτόμενον ἐν οἰκίᾳ εἰδότα. καὶ πιθανῶς σχετλιάζων ἐπάγειν δυστυχὴς κάσανδρος. καὶ ὅσα τοιαῦτα :

---

20 δὲ αὐτῷ A B   21 αὐτῶν B : αὐτὸν A : αὐτὸς Wilamowitz : αὐτὰ Kayser   24 οἶδε A B M : εἶδε recc.   καὶ πάντα B : καὶ ταῦτα πάντα A : καὶ ταῦθ' ἅμα recc.   πως scripsi : πῶς A B   οἴεσθαι A B : οἴεσθε inepte recc. '*haec dum aliquo modo enarrat, apte se ad persuadendum lamentari opinatur, cum dicit*' ; excerptoris balba oratio   πιθανῶς B : om. A   26 ἰσχυρὸς γενόμενος (γινόμενος ut vid. B) A B : ἰσχυρῶς γ' ἀμυνάμενος Wilamowitz   ἀλλ' A B : ἄλλως Auber (explicaretur *frustra*)   27 δεῖ δ' αὐτόν γε B : δεῖ τ' αὐτόν γε A : corr. recc.   28 προσδεδραμηκέναι A : προὐδεδραμήκει Schneider   29–39 epilogus totus excerptoris   29 ποτε om. A   30 post γὰρ add. καὶ A   ἀλυσιτελῶς recc. : λυσιτελῶς A B   31 ἀπαλάττουσι A : πλάττουσι Nauck, cf. Praef. p. vii   33 δ' ἐν recc. : δὲ A B   34 πόλεις τῷ Casaubon—Needham : πλεῖστοι A B   36 ποίᾳ . . . στοᾷ scripsi : ποία . . . στοᾶ B : ποία . . . στοά A, corr. B   37 ποίῳ δὲ μέρει sic A B   οὐκ ἐνημερεύουσιν scripsi : οὐ διημερεύουσιν A B : οὐκ ἐνδιημερεύουσιν Schneider   38 οὕτως καὶ] cf. vii 4 n. 16

## ΑΝΑΙΣΧΥΝΤΙΑΣ Θʹ

Ἡ δὲ ἀναισχυντία ἐστὶ μέν, ὡς ὅρῳ λαβεῖν, κατα- 1
φρόνησις δόξης αἰσχροῦ ἕνεκα κέρδους, ὁ δὲ ἀναίσχυντος
τοιοῦτός ⟨τις⟩, οἷος πρῶτον μὲν ὃν ἀποστερεῖ, πρὸς τοῦτον 2
ἀπελθὼν δανείζεσθαι, εἶτα θύσας τοῖς θεοῖς αὐτὸς μὲν
δειπνεῖν παρ' ἑτέρῳ, τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ πάσας.
καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον δοῦναι ἀπὸ τῆς τραπέζης 3
ἄρας κρέας καὶ ἄρτον καὶ εἰπεῖν ἀκουόντων πάντων·
'εὐωχοῦ, Τίβειε.' καὶ ὀψωνῶν δὲ ὑπομιμνῄσκειν τὸν κρεω- 4
πώλην, εἴ τι χρήσιμος αὐτῷ γέγονε, καὶ ἑστηκὼς πρὸς τῷ
σταθμῷ μάλιστα μὲν κρέας, εἰ δὲ μή, ὀστοῦν εἰς τὸν ζωμὸν
ἐμβαλεῖν, καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει, εἰ δὲ μή, ἁρπάσας
ἀπὸ τῆς τραπέζης χολίκιον ἅμα γελῶν ἀπαλλάττεσθαι.
καὶ ξένοις δὲ αὐτοῦ θέαν ἀγοράσας μὴ δοὺς τὸ μέρος 5
θεωρεῖν, ἄγειν δὲ καὶ τοὺς υἱεῖς ⟨εἰς⟩ τὴν ὑστεραίαν καὶ
τὸν παιδαγωγόν. καὶ ὅσα ἐωνημένος ἄξιά τις φέρει, μετα- 6
δοῦναι κελεῦσαι καὶ αὑτῷ. καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν 7
ἐλθὼν δανείζεσθαι κριθάς, ποτὲ ⟨δὲ⟩ ἄχυρα, καὶ ταῦτα
⟨τοὺς⟩ χρήσαντας ἀναγκάσαι ἀποφέρειν πρὸς αὑτόν. δεινὸς 8
δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ προσελθὼν
καὶ βάψας ἀρύταιναν βοῶντος τοῦ βαλανέως αὐτὸς αὑτοῦ

---

M : Π (vac. tit., volebat ερὶ ἀναισχυντίας) Ἡ δὲ ἀναισχυντία καταφρόνησις ἐστι δόξης αἰχρρ̂(?) ἕνεκα κέρδους. οἷον εἴ τις που κεκλημένος, ἄρας ἀπὸ τραπέζης δοῦναι τῷ ἑπομένῳ. λέγων εὐωχοῦ τίβιε. καὶ ὀψωνῶν ἑστὼς πρὸς τῷ σταθμῷ συλλαλεῖν φιλικῶς ἕως ἄρῃ τι πλέον. ἢ καὶ ἁρπάσας γελῶν. καὶ

---

IX. 3 κέρδους εἵνεκα A 4 ⟨τις⟩ addidi οἷον sic A B : corr. recc. ἀποστερεῖται A 5 δανείζεται sic A B : corr. recc. post εἶτα lacunam sign. Holland 8 ἄρτον καὶ κρέας ἄρας A 9 Τίβειε scripsi (cf. Praef. p. xi n. 1): τίβιε M : τίμιε B : τιμιώτατε A 12 εὖ ἔχει del. Kayser 14 αὐτοῦ A B 15 τοὺς υἱεῖς εἰς recc. : τοὺς ὡς εἰς A : τοὺς εἰς B 17 αὐτῷ A B 18 ⟨δὲ⟩ suppl. recc. : om. A B ἄχυρα sic A B 19 ⟨τοὺς⟩ M : om. A B ἀποφέρειν B : φέρειν sic A αὐτόν A B 20 προσελθεῖν A 21 αὐτὸς αὐτοῦ A B